## SCHEDA ANAGRAFICA SU EURIPIDE

**- *summa* biografica:** *Suda* ε 3695 A. Εὐριπίδης, Μνησάρχου ἢ Μνησαρχίδου καὶ Κλειτοῦς, οἳ φεύγοντες εἰς Βοιωτίαν μετῴκησαν, εἶτα ἐν τῇ Ἀττικῇ. οὐκ ἀληθὲς δέ, ὡς λαχανόπωλις ἦν ἡ μήτηρ αὐτοῦ· καὶ γὰρ τῶν σφόδρα εὐγενῶν ἐτύγχανεν, ὡς ἀποδείκνυσι Φιλόχορος (*FGrHist* 328 F 218). ἐν δὲ τῇ διαβάσει Ξέρξου ἐκυοφορεῖτο ὑπὸ τῆς μητρὸς καὶ ἐτέχθη καθ᾽ ἣν ἡμέραν Ἕλληνες ἐτρέψαντο τοὺς Πέρσας. γέγονε δὲ τὰ πρῶτα ζωγράφος, εἶτα μαθητὴς Προδίκου μὲν ἐν τοῖς ῥητορικοῖς, Σωκράτους δὲ ἐν τοῖς ἠθικοῖς καὶ φιλοσόφοις. διήκουσε δὲ καὶ Ἀναξαγόρου τοῦ Κλαζομενίου. ἐπὶ τραγῳδίαν δὲ ἐτράπη τὸν Ἀναξαγόραν ἰδὼν ὑποστάντα κινδύνους δι᾽ ἅπερ εἰσῆξε δόγματα. σκυθρωπὸς δὲ ἦν τὸ ἦθος καὶ ἀμειδὴς καὶ φεύγων τὰς συνουσίας· ὅθεν καὶ μισογύνης ἐδοξάσθη. ἔγημε δὲ ὅμως πρώτην μὲν Χοιρίνην, θυγατέρα Μνησιλόχου· ἐξ ἧς ἔσχε Μνησίλοχον καὶ Μνησαρχίδην καὶ Εὐριπίδην. ἀπωσάμενος δὲ ταύτην ἔσχε καὶ δευτέραν, καὶ ταύτης ὁμοίως ἀκολάστου πειραθείς. ἀπάρας δὲ ἀπ᾽ Ἀθηνῶν ἦλθε πρὸς Ἀρχέλαον τὸν βασιλέα τῶν Μακεδόνων, παρ᾽ ᾧ διῆγε τῆς ἄκρας ἀπολαύων τιμῆς. ἐτελεύτησε δὲ ὑπὸ ἐπιβουλῆς Ἀρριβαίου τοῦ Μακεδόνος καὶ Κρατεύα τοῦ Θετταλοῦ, ποιητῶν ὄντων καὶ φθονησάντων αὐτῷ πεισάντων τε τὸν βασιλέως οἰκέτην τοὔνομα Λυσίμαχον, δέκα μνῶν ἀγορασθέντα, τοὺς βασιλέως, οὓς αὐτὸς ἔτρεφε, κύνας ἐπαφεῖναι αὐτῷ. οἱ δὲ ἱστόρησαν οὐχ ὑπὸ κυνῶν, ἀλλ᾽ ὑπὸ γυναικῶν νύκτωρ διασπασθῆναι, πορευόμενον ἀωρὶ πρὸς Κρατερὸν τὸν ἐρώμενον Ἀρχελάου (καὶ γὰρ σχεῖν αὐτὸν καὶ περὶ τοὺς τοιούτους ἔρωτας), οἱ δέ, πρὸς τὴν γαμετὴν Νικοδίκου τοῦ Ἀρεθουσίου. ἔτη δὲ βιῶναι αὐτὸν οε´, καὶ τὰ ὀστᾶ αὐτοῦ ἐν Πέλλῃ μετακομίσαι τὸν βασιλέα. δράματα δὲ αὐτοῦ κατὰ μέν τινας οε´, κατὰ δὲ ἄλλους ϙβ´· σῴζονται δὲ οζ´. νίκας δὲ ἀνείλετο ε´, τὰς μὲν δ´ περιών, τὴν δὲ μίαν μετὰ τὴν τελευτήν, ἐπιδειξαμένου τὸ δρᾶμα τοῦ ἀδελφιδοῦ αὐτοῦ Εὐριπίδου. ἐπεδείξατο δὲ ὅλους ἐνιαυτοὺς κβ´, καὶ τελευτᾷ ἐπὶ τῆς ϙγ´ Ὀλυμπιάδος.

**- nascita tra il 485/484 e il 480/479, ad Atene, da Mnesarchide e Clito, morte nel 407/406:** *Marm. Par. FGrHist* 239 A 50 (485/484) ἀφ᾽ οὗ Αἰσχύλος ὁ ποιητὴς τραγῳδίᾳ πρῶτον ἐνίκησε, καὶ Εὐριπίδης ὁ ποιητὴς ἐγένετο, καὶ Στησίχορος ὁ ποιητὴς εἰς τὴν Ἑλλάδα ἀ[φίκετ]ο ἔτη ΗΗΔΔΙΙ, ἄρχοντος Ἀθήνησι Φιλοκράτους … A 63 (407/406) ἀφ᾽ οὗ Εὐριπίδης βι[ώσας ἔτη 𐅄ΔΔΓ .. (?) ἐτ]ελεύτησεν, ἔτη † ΗΔΔΔΔΓ, ἄρχοντος Ἀθήνησι Ἀντιγένους.

*Vit. Eur.* 1 Εὐριπίδης ὁ ποιητὴς υἱὸς ἐγένετο Μνησαρχίδου καπήλου καὶ Κλειτοῦς λαχανοπώλιδος, Ἀθηναῖος. ἐγεννήθη δὲ ἐν Σαλαμῖνι ἐπὶ Καλλίου ἄρχοντος κατὰ τὴν οε´ ὀλυμπιάδα ὅτε ἐναυμάχησαν τοῖς Πέρσαις οἱ Ἕλληνες (480/479) … 2 γεννηθῆναι δὲ τῇ αὐτῇ ἡμέρᾳ <ᾗ> καὶ Ἑλλάνικον, ἐν ᾗ ἐνίκων τὴν περὶ Σαλαμῖνα ναυμαχίαν οἱ Ἕλληνες … ἐτελεύτησε δέ, ὥς φησι Φιλόχορος (*FGrHist* 328 F 220), ὑπὲρ τὰ ο´ ἔτη γεγονώς, ὡς δὲ Ἐρατοσθένης (*FGrHist* 241 F 12), οε´· καὶ ἐτάφη ἐν Μακεδονίᾳ· κενοτάφιον δὲ αὐτοῦ [ἐν] Ἀθήνησιν ἐγένετο … 3 Εὐριπίδης Μνησαρχίδου Ἀθηναῖος. τοῦτον οἱ τῆς ἀρχαίας κωμῳδίας ποιηταὶ ὡς λαχανοπώλιδος υἱὸν κωμῳδοῦσι.

Plut. *Quaest. conv.* 8,1, 717b-c οἷον ἦν τὸ περὶ τῆς Εὐριπίδου γενέσεως καὶ τελευτῆς, γενομένου μὲν ἡμέρᾳ καθ᾽ ἣν οἱ Ἕλληνες ἐναυμάχουν ἐν Σαλαμῖνι πρὸς τὸν Μῆδον (480/479), ἀποθανόντος δὲ καθ᾽ ἣν ἐγεννήθη Διονύσιος ὁ πρεσβύτερος τῶν ἐν Σικελίᾳ τυράννων (432, sed ad regni initium a. 405 haec verba fort. respiciunt).

Gell. *NA* XV 20 *Euripidi poetae matrem Theopompus* (*FGrHist* 115 F 397) *agrestia olera uendentem uictum quaesisse dicit.*

*IG* XIV 1207b (= *IGUR* IV 1545, Roma, II d.C.) Εὐρειπίδης Μνη[σα]ρχίδου Σαλαμείνιος, τραγ(ικὸς) ποιητής.

Diog. Laert. II 45 ἀμφότεροι δ᾽ ἤκουσαν Ἀναξαγόρου, καὶ οὗτος (*scil.* Socrates) καὶ Εὐριπίδης, ὃς καὶ τῷ πρώτῳ ἔτει τῆς ἑβδομηκοστῆς πέμπτης Ὀλυμπιάδος ἐγεννήθη ἐπὶ Καλλιάδου (480/479).

Thom. Mag. *Syn. Vit. Eur.* 139,1-5 West. Εὐριπίδῃ τῷ ποιητῇ πατρὶς μὲν Ἀθῆναι, πατέρες δὲ Μνήσαρχος κάπηλος καὶ Κλειτὼ λαχανόπωλις … γεννηθεὶς δ᾽ ἐν Σαλαμῖνι τῇ πρὸς τῆς Ἀττικῆς νήσῳ ἐπὶ Καλλιάδου ἄρχοντος κατὰ τὴν οε´ Ὀλυμπιάδα (480/479), ὅτε καὶ τὸ τοῦ Ξέρξου ναυτικὸν κατεναυμάχησαν Ἀθηναῖοι.

**- esordio nel 456/455:** *Vit. Eur.* 2 ἤρξατο δὲ διδάσκειν ἐπὶ Καλλίου ἄρχοντος Ὀλυμπιάδος πα´ ἔτει α´ (456/455), πρῶτον δὲ ἐδίδαξε τὰς Πελιάδας, ὅτε καὶ τρίτος ἐγένετο … 3 ἤρξατο δὲ διδάσκειν κατὰ τὴν πα´ Ὀλυμπιάδα ἐπὶ ἄρχοντος Καλλίου (456/455).

Thom. Mag. *Syn. Vit. Eur.* 139,21 West. ἤρξατο δὲ τοῦ περὶ ταῦτα ἀγῶνος ἐτῶν κε´ γεγονώς.

**- primo successo nel 442/441:** *Marm. Par. FGrHist* 239 A 60 (442/441) ἀφ᾽ οὗ Εὐριπίδης ἐτῶν ὢν ΔΔΔΔΙΙΙΙ (?) τραγωιδίᾳ πρῶτον ἐνίκησεν, ἔτη Η𐅄Δ[ΔΓΙΙΙΙ, ἄρ]χοντος Ἀθήνησι Διφίλο[υ· ἦ]σαν δὲ κατ᾽ Εὐριπίδην Σωκράτης τε καὶ Ἀναξαγόρας.

**- la carriera in cifre:** *Vit. Eur.* 3 τὰ πάντα δ᾽ ἦν αὐτοῦ δράματα ϙβ´, σῴζεται δὲ οη´· τούτων νοθεύεται τρία, Τέννης Ῥαδάμανθυς Πειρίθους … τὰ πάντα δὲ ἦν αὐτοῦ δράματα ϙβ´, σῴζεται δὲ αὐτοῦ δράματα ξζ´ καὶ γ´ πρὸς τούτοις τὰ ἀντιλεγόμενα, σατυρικὰ δὲ η´, ἀντιλέγεται δὲ καὶ τούτων τὸ α´. νίκας δὲ ἔσχε ε´.

**- condizione sociale ed educazione:** *Vit. Eur.* 2s. ἤσκησε δὲ κατ᾽ ἀρχὰς μὲν παγκράτιον, ἢ πυγμήν, τοῦ πατρὸς αὐτοῦ χρησμὸν λαβόντος ὅτι στεφανηφόρους ἀγῶνας νικήσει, καί φασιν αὐτὸν Ἀθήνησι νικῆσαι· ἀναγνοὺς δὲ ἐπὶ τραγῳδίαν ἐτράπη καὶ πολλὰ προσεξεῦρε, προλόγους φυσιολογίας ῥητορείας ἀναγνωρισμούς, ὡς δὴ ἀκουστὴς γενόμενος Ἀναξαγόρου καὶ Προδίκου καὶ Πρωταγόρου. δοκεῖ <δὲ> αὐτῷ καὶ Σωκράτης ὁ φιλόσοφος [καὶ Μνησίλοχος] συμπεποιηκέναι τινά … φασὶ δὲ αὐτὸν καὶ ζωγράφον γενέσθαι καὶ δείκνυσθαι αὐτοῦ πινάκια ἐν Μεγάροις· γενέσθαι δὲ αὐτὸν καὶ πυρφόρον τοῦ Ζωστηρίου Ἀπόλλωνος.

Gell. *NA* XV 20 *patri autem eius nato illo responsum est a Chaldaeis eum puerum, cum adoleuisset, uictorem in certaminibus fore; id ei puero fatum esse. pater interpretatus athletam debere esse roborato exercitatoque filii sui corpore Olympiam certaturum eum inter athletas pueros deduxit. ac primo quidem in certamen per ambiguam aetatem receptus non est, post Eleusino et Theseo certamine pugnauit et coronatus est. mox a corporis cura ad excolendi animi studium transgressus auditor fuit physici Anaxagorae et Prodici rhetoris, in morali autem philosophia Socratis. tragoediam scribere natus annos duodeuiginti adortus est. Philochorus* (*FGrHist* 328 F 219) *refert in insula Salamine speluncam esse taetram et horridam, quam nos uidimus, in qua Euripides tragoedias scriptitarit.*

**- aspetto fisico, mogli e figli:** *Vit. Eur.* 2 ἐλέγετο δὲ καὶ βαθὺν πώγωνα θρέψαι καὶ ἐπὶ τῆς ὄψεως φακοὺς ἐσχηκέναι. γυναῖκα δὲ γῆμαι πρώτην Μελιτώ, δευτέραν δὲ Χοιρίλην. καὶ υἱοὺς κατέλιπε τρεῖς, Μνησαρχίδην μὲν πρεσβύτατον ἔμπορον, δεύτερον δὲ Μνησίλοχον ὑποκριτήν, νεώτατον δὲ Εὐριπίδην, ὃς ἐδίδαξε τοῦ πατρὸς ἔνια δράματα.

Satyr. *Vit. Eur.* fr. 39,20,1-3 Arr. ἔχε̣[ι] τὸ στόμα | καὶ [καθ᾽ ὑπ]ε̣ρ-|βολ[ὴν δυσῶδες·] (cf. *Vit. Eur.* 5)

**- carattere:** *Vit. Eur.* 5 φασὶ δὲ αὐτὸν ἐν Σαλαμῖνι σπήλαιον κατασκευάσαντα ἀναπνοὴν ἔχον εἰς τὴν θάλασσαν ἐκεῖσε διημερεύειν φεύγοντα τὸν ὄχλον. ὅθεν καὶ ἐκ θαλάσσης λαμβάνει τὰς πλείους τῶν ὁμοιώσεων. σκυθρωπὸς δὲ καὶ σύννους καὶ αὐστηρὸς ἐφαίνετο καὶ μισογέλως.

**- processi:** Satyr. *Vit. Eur.* fr. 39,10,15-21 Arr. ὑπὸ | μὲν γὰρ Κλέ-|ωνος τοῦ δη-|μαγωγοῦ τὴν | τῆς ἀσεβείας | δίκην ἔφυ-|γεν.

Arist. *Rh.* III 15, 1416a 28-30 ἄλλος, εἰ γέγονεν κρίσις, ὥσπερ Εὐριπίδης πρὸς Ὑγιαίνοντα ἐν τῇ ἀντιδόσει κατηγοροῦντα ὡς ἀσεβής.

**- epitafio e onori funebri:** *Vit. Eur.* 2 κενοτάφιον δὲ αὐτοῦ [ἐν] Ἀθήνησιν ἐγένετο καὶ ἐπίγραμμα ἐπεγέγραπτο Θουκυδίδου τοῦ ἱστοριογράφου ποιήσαντος, ἢ Τιμοθέου τοῦ μελοποιοῦ· "μνῆμα μὲν Ἑλλὰς ἅπασ᾽ Εὐριπίδου, ὀστέα δ᾽ ἴσχει / γῆ Μακεδών, ᾗπερ δέξατο τέρμα βίου. / πατρὶς δ᾽ Ἑλλάδος Ἑλλάς, Ἀθῆναι· πλεῖστα δὲ Μούσας / τέρψας ἐκ πολλῶν καὶ τὸν ἔπαινον ἔχει". φασὶ δὲ [καὶ] κεραυνωθῆναι ἀμφότερα μνημεῖα. λέγουσι δὲ καὶ Σοφοκλέα ἀκούσαντα ὅτι ἐτελεύτησεν, αὐτὸν μὲν ἱματίῳ φαιῷ προελθεῖν, τὸν δὲ χορὸν καὶ τοὺς ὑποκριτὰς ἀστεφανώτους εἰσαγαγεῖν ἐν τῷ προαγῶνι καὶ δακρῦσαι τὸν δῆμον … 5 λέγει δὲ καὶ Ἕρμιππος (fr. 94 W.) Διονύσιον τὸν Σικελίας τύραννον μετὰ τὴν τελευτὴν τοῦ Εὐριπίδου τάλαντον τοῖς κληρονόμοις αὐτοῦ πέμψαντα λαβεῖν τὸ ψαλτήριον καὶ τὴν δέλτον καὶ τὸ γραφεῖον, ἅπερ ἰδόντα κελεῦσαι τοὺς φέροντας ἐν [τῷ] Μουσῶν ἱερῷ ἀναθεῖναι ἐπιγράψαντα τοῖς αὐτοῦ <καὶ> Εὐριπίδου ὀνόμασι. διὸ καὶ ξενοφιλώτατον κεκλῆσθαί φασι διὰ τὸ μάλιστα ὑπὸ ξένων φιλεῖσθαι· ὑπὸ γὰρ Ἀθηναίων ἐφθονεῖτο … 6 οὕτω δὲ αὐτὸν Φιλήμων ἠγάπησεν ὡς τολμῆσαι περὶ αὐτοῦ τοιοῦτον εἰπεῖν (fr. 118 K.-A.) "εἰ ταῖς ἀληθείαισιν οἱ / τεθνηκότες αἴσθησιν εἶχον, ἄνδρες ὥς φασίν τινες, / ἀπηγξάμην ἂν ὥστ᾽ ἰδεῖν Εὐριπίδην".

**- stile:** *Vit. Eur.* 3 πλάσματι δὲ μέσῳ χρησάμενος περιγέγονε τῇ ἑρμηνείᾳ ἄκρως εἰς ἀμφότερον χρώμενος ταῖς ἐπιχειρήσεσι. καὶ τοῖς μέλεσίν ἐστιν ἀμίμητος παραγκωνιζόμενος τοὺς μελοποιοὺς σχεδὸν πάντας, ἐν δὲ τοῖς ἀμοιβαίοις περισσὸς καὶ φορτικὸς καὶ ἐν τοῖς προλόγοις δὲ ὀχληρός, ῥητορικώτατος δὲ τῇ κατασκευῇ καὶ ποικίλος τῇ φράσει καὶ ἱκανὸς ἀνασκευάσαι τὰ εἰρημένα.

## ALTRI DATI CRONOLOGICI

**a)** date certe nella produzione euripidea: *Alc.* 438, *Med.* 431, *Hipp.* 428, *Tr.* 415, *Hel.* 412, *Or.* 408, *IA* e *Ba.* postume.
**b)** epinicio per Alcibiade olimpionico (*PMG* 755: 416).
**c)** epitafio per i caduti della spedizione in Sicilia (Plut. *Nic.* 17: 413)

## TESTIMONI DEL TESTO

***codices***

**H** Hierusalem, *Τάφου* 36 (X-XI s.; vv. 51-255, 1278-1236)
**B** Paris, BNF, *Parisinus* gr. 2713 (XI s. in.; cum scholiis et cum correctionibus Iani Lascaris)
**O** Firenze, BML, *Laurentianus* 31,10 (1175 ca.)
**Vc** Roma, BAV, *Vaticanus* gr. 910 (XIV s.; vv. 1-879, 885-1049)
**D** Firenze, BML, *Laurentianus* 31,15 (1325 ca.)
**W** Ἅγιον Ὄρος (Athos), *Μονὴ Ἰβήρων* 209 (olim 161; XIV s. in.; vv. 1-730, 826-1028, 1134-1338)
**F** Venezia, Biblioteca Marciana gr. 468 (XIII s. ex.; vv. 1-42)
**A** Paris, BNF, *Parisinus* gr. 2712 (XIII s. ex.)
**V** Roma, BAV, *Vaticanus* gr. 909 (1250-1280 ca.; cum scholiis)
**Hn** Kobenhavn, Det Kongelige Bibliotek 417 (1475 ca.)
**Nv** Napoli, Biblioteca Nazionale *Vind.* gr. 17 (1500 ca.)
**Ω = BOVcDWFAVHnNv**
**L** Firenze, BML, *Laurentianus* 32,2 (1300-1320 ca.; cum correctionibus Demetrii Trliclinii: **L**$^2$)
**P** Roma, BAV, *Palatinus* gr. 287 (1320-1325 ca.)

***papyri***

**Π**$^1$ Paris, Louvre 7171+7172 (170-160 a.C. ca.; vv. 5-12) (*TM* 59936)
**Π**$^2$ Williamstown, Williams College Library *P. Oxy.* 1370 (V s. p.C.; vv. 20-26, 57-63) (*TM* 59885)
**Π**$^3$ Berlin, Ägyptisches Museum P. 13243 (V s. p.C.; vv. 507, 513-517, 545-560) (*TM* 59887)
**Π**$^4$ Graz, Universität Ms. I 1910 Vo *P. Oxy.* 450 (III s. p.C.; vv. 710-715) (*TM* 59859)
**Π**$^5$ Birmingham, Orchard Learning Research Centre *P. Harris* 179 + Cambridge, Fitzwilliam Museum Add. 109 + Oxford, Sackler Library, Papyrology Rooms 23 3B 1/Q(1-3)b (III s. p.C.; vv. 719-723, 748-752, 1007-1009, 1046-1053, 1156-1160, 1165-1177, 1191-1199, 1279-1328 [deest 1300], 1345s.) (*TM* 59814)
**Π**$^6$ Oxford, Sackler Library, Papyrology Rooms *P. Ant.* 23 (V-VI s. p.C.; vv. 825-840, 866-878) (*TM* 59886)
**Π**$^7$ Strasbourg, Bibliothèque Nationale Wiss. Ges. gr. 304-307 (250-150 a.C.; 844-865, 977-981, 1087-1115, 1251-1292, 1389-1419) (*TM* 59939)
**Π**$^8$ London, University College, Petrie Museum s. nr. (IV-V s. p.C.; vv. 1057-1062, 1086-1092) (*TM* 59874)
**Π**$^9$ Oxford, Sackler Library, Papyrology Rooms *P. Oxy.* 2337 (65-199 p.C.; vv. 1149-1163, 1171-1190) (*TM* 59792)

**Π**[10] Oxford, Sackler Library, Papyrology Rooms 36 4B 110/D(1-2)a *P. Oxy.* 4568 (III-IV s. p.C.; vv. 131, 139-147) (*TM* 59870)
**Π**[11] Oxford, Sackler Library, Papyrology Rooms 36 4B 110/H(1-3)c *P. Oxy.* 4549 (III s. p.C.; vv. 718-735) (*TM* 59863)
**Π**[12] Berlin, Ägyptisches Museum P. 13231e frr. 10, 12 + P. 17018 + P. 21218 (V s. p.C.; vv. 410-427, 501-510, 546s., 549-554, 838-840, 884-887, 1054-1056, 1059-1064, 1098-1103 [lac.]) (*TM* 59877)
**Π**[13] Heidelberg, Institut für Papyrologie P. G 1385 (I s. a.C.; vv. 547-550, 591-595) (*TM* 59901)
**Π**[14] Oxford, Sackler Library, Papyrology Rooms *P. Oxy.* 3214 (II s. p.C.; v. 76?) (*TM* 59834)
**Π**[15] Cairo, IFAO Fouad 248 (100-150 p.C.; *arg. Med.*) (*TM* 59813)
**Π**[16] London, British Library Pap. 3038 + Strasbourg, Bibliothèque Nationale P. gr. 2676 a (II s. p.C.; *arg. Med.*) (*TM* 59820)
**Π**[17] Berlin, Ägyptisches Museum P. 21257 (III s. p.C.; vv. 1024-1036, 1055-1074, 1119) (*TM* 59919)
**Π**[18] New Haven, Yale University, Beinecke Library P. CtYBR 2191 (III s. a.C.; vv. 1415-1419) (*TM* 59931)
**Π**[19] Cairo, IFAO P. 172 (IV s. p.C.; vv. 14s.?) (*TM* 61301)
**Π**[20] Oxford, Sackler Library, Papyrology Rooms 120/18-19 (II-III s. p.C.; *epideixis rhetorica e Medea*) (*TM* 129891)
**Π**[21] London, British Library, Dept. of Manuscripts *P. Oxy.* 2455 fr. 1 (II s. p.C. in.; *arg. Med.?*) (*TM* 59820)

***gnomologia***

**gV** Ἅγιον Ὄρος (Athos), Vatopedi, *Vatopedianus* 36 (XII s.)
**gB** Roma, BAV, *Vaticanus Barberini* gr. 4 (1300 ca.)
**gE** Madrid, El Escorial, *Escorialensis* gr. 352 (= X.1.13; XIV s. in.)

***editiones***

**Ald** editio *Aldina*, Venetiis, a. 1503